[2] Ἐντεῦθεν Ἀλάριχος εἰς τὴν Ἀττάλου καθαίρεσιν εἶδεν, Ἰοβίου πρὸ πολλοῦ ταῖς συνεχέσι διαβολαῖς ἑτοιμότερον εἰς τοῦτο κατασκευάσαντος· καὶ τὸ βούλευμα εἰς ἔργον ἄγων, πρὸ τῆς Ἀριμήνου, καθ᾽ἣν τότε διέτριβεν, ἐξαγαγὼν τὸν Ἄτταλον, περιελὼν τὸ διάδημα καὶ τῆς ἁλουργίδος ἐκδύσας ταῦτα μὲν ἔπεμψεν Ὁνωρίῳ τῷ βασιλεῖ, τὸν δὲ Ἄτταλον ταῖς πάντων ὄψεσιν ἰδιώτην ἀπέδειξε.

(...)

[1] Ἀλαρίχου δὲ ἐπὶ τὴν Ῥάβενναν ὡρμηκότος ὡς δὴ βεβαίως αὐτῷ πρὸς Ὁνώριον ἐσομένης εἰρήνης, ἕτερόν τι παρ᾽ἐλπίδα ἐμπόδιον εὗρεν ἡ τύχη, πρὸς τὰ συμβησόμενα τοῖς τῆς πολιτείας πράγμασιν ὁδῷ προϊοῦσα.